μεταρρυθμίζοντας, ἢ φωνῆς ἀγεννεστέρας αὐτῶν ἐπιλαμβανομένους ἢ πρός τι πάθος ἀντιβαίνοντας. οἱ μὲν γὰρ ἐκμεμαθηκότες τὰ τῶν Ἰδαίων ὀνόματα δακτύλων χρῶνται πρὸς τοὺς φόβους αὐτοῖς ὡς ἀλεξικάκοις, ἀτρέμα καταλέγοντες ἕκαστον· ἡ δὲ τῶν ἀγαθῶν ἀνδρῶν ἐπίνοια καὶ μνήμη ταχὺ παρισταμένη καὶ ἀναλαμβάνουσα τοὺς προκόπτοντας ἐν πᾶσι πάθεσι καὶ πάσαις ἀπορίαις ὀρθοὺς διαφυλάσσει καὶ ἀπτῶτας. ὅθεν ἔστω σοι καὶ τοῦτο σημεῖον †αὐτὸ τοῦ πρὸς ἀρετὴν ἐπιδιδόντος.

**16.** Πρὸς δὲ τούτῳ τὸ μηκέτι ταράττεσθαι σφόδρα μηδ'
C ἐρυθριᾶν μηδὲ κατακρύπτειν ἢ μετασχηματίζειν τι τῶν καθ' αὑτὸν ἀνδρὸς ἐνδόξου καὶ σώφρονος ἐξαπίνης ἐπιφανέντος, ἀλλὰ θαρρεῖν ὁμόσε χωροῦντα τοῖς τοιούτοις ἔχει τινὰ τοῦ συνειδότος ἐκβεβαίωσιν. Ἀλέξανδρος μὲν γὰρ ὡς ἔοικεν ἄγγελον ἰδὼν περιχαρῆ προσθέοντα καὶ τὴν δεξιὰν προτείνοντα ‘τί μοι μέλλεις’ εἶπεν ‘ὦ τᾶν ἀπαγγελεῖν; ἢ ὅτι Ὅμηρος ἀναβεβίωκεν;’ οὐδενὸς αὐτῷ τὰ πράγματα πλὴν ὑστεροφημίας οἰόμενος ἐνδεῖν. νέῳ δ' ἀνδρὶ βελτιουμένῳ τὸ ἦθος οὐδενὸς ἔρως ἐμφύεται μᾶλλον ἢ καλοῖς κἀγαθοῖς ἀνδράσιν ἐγκαλλωπίσασθαι καὶ παρασχεῖν οἰκίαν αὑτοῦ καταφανῆ, τρά-
D πεζαν γυναῖκα, παιδιὰν σπουδήν, λόγους λεγομένους ἢ γραφομένους, ὥστε καὶ δάκνεσθαι πατρὸς τεθνεῶτος ἢ καθηγητοῦ μεμνημένον οὐκέτ' ἰδόντος αὑτὸν ἐν τοιαύτῃ διαθέσει, καὶ μηθὲν οὕτως ἂν εὔξασθαι παρὰ θεῶν, ὡς ἐκείνους ἀναβιώσαντας αὐτῷ γενέσθαι τοῦ βίου καὶ τῶν πράξεων θεατάς. ὥσπερ αὖ τοὐναντίον οἱ καταμελήσαντες ἑαυτῶν καὶ διαφθαρέντες οὐδ' ἐν ὕπνῳ τοὺς προσήκοντας ἀτρόμως καὶ ἀδεῶς ὁρῶσιν.

**17.** Ἔτι τοίνυν πρόσλαβε τοῖς εἰρημένοις σημεῖον οὐ μι-